τοῦ τὸν λογισμόν, ᾧ μέλλοιμεν εὑρίσκειν αὐτήν, ἀσκῆσαι πρεπόντως εἰς τὰ τοιαῦτ' ἀναγκαῖον ἀπάγειν | σοφίσματα, 535 καὶ περί τε τῶν φαινομένων ὡς ἀναισθήτους ἀναγκάζει διαλέγεσθαι μάρτυρά τε καλεῖν Ἀριστοτέλην παρακούοντας ὧν διδάσκει. πολλαχῶς γὰρ ἐκεῖνος οἶδε καὶ τὸ θερμὸν λεγόμενον καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρόν· οἱ δ' οὐκ ἀκούουσιν αὐτοῦ πολλαχῶς ἀλλ' ὡσαύτως ἀεί. καὶ μὲν δὴ καὶ ὡς οὐ ταὐτόν ἐστιν ἢ οἰκείῳ τινὶ καὶ συμφύτῳ θερμῷ θερμὸν ὑπάρχειν ἢ ἐπικτήτῳ τε καὶ ἀλλοτρίῳ διῆλθεν Ἀριστοτέλης· οἱ δὲ καὶ τούτου παρακούουσιν. ἔτι δὲ πρὸς τούτοις ὁ μὲν Ἀριστοτέλης, ὡσαύτως δὲ καὶ ὁ Θεόφραστος, εἰς ὅ τι χρὴ βλέποντας ἢ εὔκρατον ἢ δύσκρατον ὑπολαμβάνειν εἶναι τὴν φύσιν, ἀκριβῶς εἰρήκασιν· οἱ δ' οὐδὲ τοῦτο γιγνώσκουσιν, ἀλλ' ὅταν ἀκούσωσί που λεγόντων αὐτῶν ὑγρὸν εἶναι καὶ θερμὸν τὸ ζῷον ἢ τὴν τοῦ παιδὸς κρᾶσιν ὑγρὰν καὶ θερμήν, οὔθ' ὅπως εἴρηται ταῦτα συνιᾶσιν ἐμπλήκτως τε μεταφέρουσι τὸν λόγον ἐπὶ τὰς ὥρας ὥσπερ ταὐτὸν ὂν ἀλλ' οὐ μακρῷ διαφέρον ἢ τὴν οἰκείαν κρᾶσιν ὑγρὰν εἶναι καὶ θερμὴν ἢ τὴν τοῦ περιέχον|τος ἡμᾶς ἀέρος. οὔτε γὰρ 536 ταὐτόν ἐστιν οὔθ' ὁμοίως ὑγρὰ καὶ θερμὴ ζῴου κρᾶσις ἀέρος ὑγρᾷ καὶ θερμῇ κράσει λέγεται.

Τί δὴ τὸ τούτων ἁπάντων αἴτιον, ἤδη διηγήσομαι καὶ δείξω σαφῶς τοῖς προσέχειν τὸν νοῦν βουλομένοις, ὡς μικρὰ πταίσματα τῶν ἐν ἀρχῇ τῆς λογικῆς θεωρίας διδασκομένων αἴτια μεγίστων ἁμαρτημάτων γίγνεται, καὶ κινδυνεύει πάντα τὰ κακῶς πραττόμενα κατά τε τὰς τέχνας ἁπάσας καὶ μέντοι καὶ κατὰ τὰς ἐν τῷ βίῳ πράξεις ἕπεσθαι σοφίσμασιν. ἕπεται τοιγαροῦν ἤδη καὶ τάδε τὰ σοφίσματα τῷ μὴ διελέσθαι περὶ τῶν σημαινομένων ὀρθῶς, ἀλλ' οἰηθῆναι τὸ θερ-

1 αὐτῇ $L^1$ αὐτοὶ $L^2$ ‖ 2 εἰς τὰ τοιαῦτ' ἀναγκαῖον ἀπάγειν L εἰς τὰ (om. M) τ. ἀναγκαίως ἀπάγει MV ἀναγκαῖον ἀπάγειν εἰς τ. τ. O ‖ 3 τε LMV γε O ‖ 7 αὐτῶν $L^1$ αὐτοῦ λέγοντος τάδε $L^2$ ‖ 9 τε καὶ LMV τε om. O ‖ 10 οἱ δὲ LMV οἱ δέ γε O ‖ δὲ LMV τε O ‖ 12 εἰς LMV ἐς O ‖ 14 που M ποῦ LV om. O ‖ 21 post θερμῇ repet. ζῴου MO del. $O^2$ ‖ 22 δὴ LO δὲ V δ' ἦν M ‖ ante ἤδη add. ὑμῖν L ‖ 23 τοῖς γε OV ‖ 27 τῷ om. M ‖ σοφίσματα O σοφίσμασιν $O^2$ in marg. ‖ 28 ἤδη add. LMV om. O